# Iamblichus, *Protrepticus* VII
Text and *apparatus criticus,* ed. by DSH and MRJ 2013vi18

ζʹ

ἰδιάζουσαι παρακλήσεις πρὸς τὴν θεωρητικὴν φιλο–
σοφίαν καὶ διαφερόντως τὴν κατὰ νοῦν ζωήν, αἱ μὲν
ἀπὸ τῆς τοῦ ὄντως ἀνθρώπου φύσεως, αἱ δὲ ἀπὸ τῶν
ἐναργῶν ὑπομιμνῄσκουσαι τουτὶ τὸ προκείμενον

--------------------------------------------------------------------------------**[4.1-4]**

4.3 ὄντως folio 57[a]: ὄντος folio 47[a]

Ἴδοι δ' ἄν τις τὸ αὐτὸ γνωριμώτερον ἀπὸ τού– 41.6
των. τὸ φρονεῖν καὶ τὸ γιγνώσκειν ἐστὶν αἱρετὸν καθ'
αὑτὸ τοῖς ἀνθρώποις (οὐδὲ γὰρ ζῆν δυνατὸν ὡς ἀνθρώ– 41.8
ποις ἄνευ τούτων), χρήσιμόν τε εἰς τὸν βίον ὑπάρχει·
οὐδὲν γὰρ ἡμῖν ἀγαθὸν παραγίγνεται, ὅ τι μὴ λογισα– 41.10
μένοις καὶ κατὰ φρόνησιν ἐνεργήσασιν τελειοῦται. καὶ
μὴν εἴτε τὸ ζῆν εὐδαιμόνως ἐν τῷ χαίρειν ἐστὶν εἴτε ἐν
τῷ τὴν ἀρετὴν ἔχειν εἴτε ἐν τῇ φρονήσει, κατὰ ταῦτα 41.13
πάντα φιλοσοφητέον· ταῦτα γὰρ μάλιστα καὶ εἰλικρινῶς
διὰ τοῦ φιλοσοφεῖν ἡμῖν παραγίνεται. ἔτι τοίνυν τὸ 41.15
μέν ἐστι ψυχὴ τῶν ἐν ἡμῖν τὸ δὲ σῶμα, καὶ τὸ μὲν
ἄρχει τὸ δὲ ἄρχεται, καὶ τὸ μὲν χρῆται τὸ δ' ὑπόκειται
ὡς ὄργανον. ἀεὶ τοίνυν πρὸς τὸ ἄρχον καὶ τὸ χρώ–
μενον συντάττεται ἡ τοῦ ἀρχομένου καὶ τοῦ ὀργάνου 41.19
χρεία. τῆς δὲ ψυχῆς <u>τὸ</u> μὲν λόγος ἐστὶν ὅπερ κατὰ **τῷ**
φύσιν ἄρχει καὶ κρίνει περὶ ἡμῶν, τὸ δ' ἕπεταί τε καὶ 41.21
πέφυκεν ἄρχεσθαι.

--------------------------------------------------------------------------------**[41.6-22]**

**41.6** γνωριμωτεροι L || **20** τῷ μὲν λόγος Vendruscolo; τὸ μὲν [λόγος] Vendruscolo ➔

πᾶν δὲ εὖ διάκειται κατὰ τὴν 41.22
οἰκείαν ἀρετήν· τὸ γὰρ τετυχηκέναι ταύτης ἀγαθόν
ἐστι. καὶ μὴν ὅταν γε ἔχῃ τὰ μάλιστα καὶ κυριώτατα
καὶ τιμιώτατα τὴν ἀρετήν, τότε εὖ διάκειται· τοῦ 41.25
βελτίονος ἄρα φύσει βελτίων ἐστὶν ἡ κατὰ φύσιν
ἀρετή. βέλτιον δὲ τὸ κατὰ φύσιν ἀρχικώτερον καὶ
μᾶλλον ἡγεμονικόν, ὡς ἄνθρωπος πρὸς τὰ ἄλλα ζῷα· 41.28
οὐκοῦν ψυχὴ μὲν σώματος βέλτιον (ἀρχικώτερον γάρ),
ψυχῆς δὲ τὸ λόγον ἔχον καὶ διάνοιαν· ἔστι γὰρ τοι– 41.30
οῦτον ὃ κελεύει καὶ κωλύει, καὶ δεῖν ἢ μὴ δεῖν φησι
πράττειν. ἥτις ποτὲ οὖν ἐστιν ἀρετὴ τούτου τοῦ 42.1
μέρους, ἀναγκαῖον εἶναι πάντων αἱρετωτάτην ἁπλῶς
τε πᾶσι καὶ ἡμῖν· καὶ γὰρ ἂν τοῦτο, οἶμαι, θείη τις, 42.3
ὡς ἤτοι μόνον ἢ μάλιστα ἡμεῖς ἐσμεν τὸ μόριον τοῦτο.

--------------------------------------------------------------------------------**[41.22-42.4]**

**41.24-25** τὰ μάλιστα transposed to before εὖ διάκειται Vendruscolo ➔ || **25** τότε <τὸ ὅλον> εὖ Gigon

ἔτι τοίνυν ὅταν ὃ πέφυκεν ἔργον ἑκάστου μὴ κατὰ 42.5
συμβεβηκὸς ἀλλὰ κατ' αὐτὸ λεγόμενον κάλλιστα ἀπο– **καθ' αὐτὸ**
τελῇ, τότε καὶ τοῦτο ἀγαθὸν εἶναι λεκτέον, ταύτην τε 42.7
ἀρετὴν θετέον κυριωτάτην, καθ' ἣν ἕκαστον αὐτὸ
τοῦτο πέφυκεν ἀπεργάζεσθαι. τοῦ μὲν οὖν συνθέτου
καὶ μεριστοῦ πλείους καὶ διάφοροί εἰσιν ἐνέργειαι, 42.10
τοῦ δὲ τὴν φύσιν ἁπλοῦ καὶ μὴ πρός τι τὴν οὐσίαν
ἔχοντος μίαν ἀναγκαῖον εἶναι τὴν καθ' αὐτὸ κυρίως 42.12
ἀρετήν.

**------------------------------------------------------------------------------[42.5-13]**

**42.6** κατ' αὐτο<ν> L; καθ' αὐτὸ Kiessling ➔ || **7** ταυτη L || **8** θετέον] λεκτεον R || **10** [εισιν] L

εἰ μὲν οὖν ἁπλοῦν τι ζῷόν ἐστιν ὁ ἄνθρωπος 42.13
καὶ κατὰ λόγον καὶ νοῦν τέτακται αὐτοῦ ἡ οὐσία, οὐκ
ἄλλο ἐστὶν αὐτοῦ ἔργον ἢ μόνη ἡ ἀκριβεστάτη ἀλή– 42.15
θεια καὶ τὸ περὶ τῶν ὄντων ἀληθεύειν· εἰ δ' ἐστὶν
ἐκ πλειόνων δυνάμεων συμπεφυκός, δῆλόν ἐστιν ὡς
ἀφ' οὗ πλείω πέφυκεν ἀποτελεῖσθαι, ἀεὶ τούτων τὸ 42.18
βέλτιστον ἔργον ἐστίν, οἷον ἰατρικοῦ ὑγεία καὶ κυβερ–
νήτου σωτηρία. βέλτιον δὲ οὐδὲν ἔχομεν λέγειν ἔργον 42.20
τῆς διανοίας ἢ τοῦ διανοουμένου τῆς ψυχῆς ἡμῶν
ἀληθείας. ἀλήθεια ἄρα τὸ κυριώτατον ἔργον ἐστὶ τοῦ 42.22
μορίου τοῦ τῆς ψυχῆς. **τούτου**

**------------------------------------------------------------------------------[42.13-23]**

**42.17** συμπεφυκῶς Kiessling ➔ || **18** ἀφ' οὗ] ὑφ' οὗ Düring || **19** βέλτιστον <τὸ> ἔργον Düring; βέλτιστον <αὐτοῦ τὸ κυριώτατον> ἔργον de Strycker ➔ || **23** τοῦ] τούτου Kiessling ➔

τοῦτο δὲ δρᾷ κατ' ἐπι– 42.23
στήμην ἁπλῶς, μᾶλλον δὲ κατὰ τὴν μᾶλλον ἐπιστήμην,
ταύτῃ δ' ἐστὶ θεωρία τὸ κυριώτατον τέλος. ὅταν γὰρ 42.25
δυοῖν ὄντοιν θάτερον διὰ θάτερον αἱρετὸν ᾖ, βέλτιόν
ἐστι τοῦτο καὶ μᾶλλον αἱρετὸν δι' ὅπερ αἱρετόν ἐστι
καὶ θάτερον, οἷον ἡδονὴ μὲν τῶν ἡδέων, ὑγεία δὲ 42.28
τῶν ὑγιεινῶν· ταῦτα γὰρ ποιητικὰ λέγεται τούτων.
οὐκοῦν τῆς φρονήσεως, ἥν φαμεν δύναμιν εἶναι τοῦ 43.1
κυριωτάτου τῶν ἐν ἡμῖν, οὐκ ἔστιν αἱρετώτερον οὐδέν,
ὡς ἕξις πρὸς ἕξιν κρίνεσθαι· τὸ γὰρ γνωστικὸν μέρος **ἕξιν**
καὶ χωρὶς καὶ συγκείμενον βέλτιόν ἐστι πάσης τῆς 43.4
ψυχῆς, τούτου δὲ ἐπιστήμη ἀρετή.

**------------------------------------------------------------------------------[42.23-43.5]**

**43.3** ἕξις] ἕξιν Pistelli ➔ || **4-5** τούτου δὲ <…> ἐπιστήμη ἀρετη Gigon

οὐκ ἄρα ἐστὶν 43.5
ἔργον αὐτῆς οὐδεμία τῶν κατὰ μέρος λεγομένων ἀρε–
τῶν· πασῶν γάρ ἐστι βελτίων, τὸ δὲ ποιούμενον τέλος 43.7
ἀεὶ κρεῖττόν ἐστι τῆς ποιούσης ἐπιστήμης· οὐδὲ μὴν
ἅπασα τῆς ψυχῆς ἀρετὴ οὕτως ἔργον οὐδ' ἡ εὐδαι– 43.9
μονία. εἰ γὰρ ἔσται ποιητική, ἑτέρα ἑτέρων ἔσται,

ὥσπερ οἰκοδομικὴ οἰκίας, ἥτις οὐκ ἔστι μέρος τῆς 43.11
οἰκίας, ἡ μέντοι φρόνησις μόριον τῆς ἀρετῆς ἐστι καὶ
τῆς εὐδαιμονίας· ἢ γὰρ ἐκ ταύτης ἢ ταύτην φαμὲν 43.13
εἶναι τὴν εὐδαιμονίαν. οὐκοῦν καὶ κατὰ τὸν λόγον
τοῦτον ἀδύνατον εἶναι τὴν ἐπιστήμην ποιητικήν· βέλ– 43.15
τιον γὰρ δεῖ τὸ τέλος εἶναι τοῦ γιγνομένου, οὐδὲν δὲ
βέλτιον εἶναι φρονήσεως, πλὴν εἴ τι τῶν εἰρημένων,
τούτων δὲ οὐδὲν ἕτερον αὐτῆς ἐστιν ἔργον. θεωρη– 43.18
τικήν τινα ἄρα φατέον εἶναι ταύτην τὴν ἐπιστήμην,
ἐπείπερ ἀδύνατον ποίησιν εἶναι τὸ τέλος. τὸ φρονεῖν 43.20
ἄρα καὶ τὸ θεωρεῖν ἔργον τῆς ἀρετῆς ἐστι καὶ τοῦτο
πάντων ἐστὶν αἱρετώτατον τοῖς ἀνθρώποις, ὥσπερ 43.22
οἶμαι καὶ τὸ τοῖς ὄμμασιν ὁρᾶν, ὃ καὶ ἕλοιτό τις ἂν
ἔχειν, εἰ καὶ μή τι μέλλοι γίγνεσθαι δι᾽ αὐτὸ παρ᾽ 43.24
αὐτὴν τὴν ὄψιν ἕτερον.

---------------------------------------------------------------------------------**[43.5-25]**

**43.15** εἶναι <ταύτην> τὴν Gigon || **17** τι] τις L || **18** ειναι] ἐστιν Pistelli || **21** ἀρετῆς] ψυχῆς Düring ➔ || **24** αὐτὸ] αὐτοῦ Kiessling

ἔτι εἰ τὸ ὁρᾶν ἀγαπῶμεν δι᾽ 43.25
ἑαυτό, ἱκανῶς μαρτυρεῖ τοῦτο ὅτι πάντες τὸ φρονεῖν
καὶ τὸ γιγνώσκειν ἐσχάτως ἀγαπῶσιν. ἔτι εἴ τις
ἀγαπᾷ τόδε τι διὰ τὸ συμβεβηκέναι ἕτερον αὐτῷ τι, 43.28
δῆλον ὅτι μᾶλλον οὗτος βουλήσεται ᾧ μᾶλλον ὑπάρχει
τοῦτο· οἷον εἰ τυγχάνει τις αἱρούμενος τὸ περιπατεῖν 44.1
ὅτι ὑγιεινόν, εἴη δὲ μᾶλλον αὐτῷ ὑγιεινὸν τὸ τρο–
χάζειν καὶ δυνατὸν παραγενέσθαι, μᾶλλον αἱρήσεται 44.3
τοῦτο κἂν ἕλοιτο γνοὺς θᾶττον. εἰ τοίνυν ἐστὶν
ἀληθὴς δόξα φρονήσει ὅμοιον, εἴπερ αἱρετὸν τὸ δοξά– 44.5
ζειν ἀληθῶς ταύτην καὶ κατὰ τοσοῦτον καθόσον ὅμοιον
τῇ φρονήσει διὰ τὴν ἀλήθειαν, εἰ μᾶλλον τοῦτο τῷ
φρονεῖν ὑπάρχει, μᾶλλον αἱρετὸν τὸ φρονεῖν ἔσται 44.8
τοῦ δοξάζειν ἀληθῶς.

---------------------------------------------------------------------------------**[43.25-44.9]**

**43.25** ἔτι εἰ] εἰ δε Schneeweiss || **44.6** ταύτην] ταύτῃ Vitelli || **7** [δια την αληθειαν] Segonds

ἀλλὰ μὴν τό γε ζῆν τῷ αἰσθά– 44.9
νεσθαι διακρίνεται τοῦ μὴ ζῆν, καὶ ταύτης παρουσία
καὶ δυνάμει τὸ ζῆν διώρισται, καὶ ταύτης ἐξαιρου– 44.11
μένης οὐκ ἔστιν ἄξιον ζῆν ὥσπερ ἀναιρουμένου τοῦ
ζῆν αὐτοῦ διὰ τὴν αἴσθησιν. τῆς δὲ αἰσθήσεως ἡ τῆς
ὄψεως διαφέρει δύναμις τῷ σαφεστάτη εἶναι, καὶ διὰ 44.14
τοῦτο καὶ μάλιστα αἱρούμεθα αὐτήν· αἴσθησις δὲ
πᾶσα δυναμίς ἐστι γνωριστικὴ διὰ σώματος, ὥσπερ ἡ 44.16
ἀκοὴ τοῦ ψόφου αἰσθάνεται διὰ τῶν ὤτων.

---------------------------------------------------------------------------------**[44.9-17]**

**44.12** ἄξιον] ἀξίως Bywater

οὐκοῦν 44.17
εἰ τὸ ζῆν μέν ἐστιν αἱρετὸν διὰ τὴν αἴσθησιν ἡ δ᾽
αἴσθησις γνῶσίς τις, καὶ διὰ τὸ γνωρίζειν αὐτῇ δύ–
νασθαι τὴν ψυχὴν αἱρούμεθα, πάλαι δὲ εἴπομεν ὥσ– 44.20
περ δυοῖν ἀεὶ μᾶλλον αἱρετὸν ᾧ μᾶλλον ὑπάρχει ὡς
ταὐτόν, τῶν μὲν αἰσθήσεων τὴν ὄψιν ἀνάγκη μάλιστα 44.22
αἱρετὴν εἶναι καὶ τιμίαν, ταύτης δὲ καὶ τῶν ἄλλων
ἁπασῶν αἱρετωτέρα καὶ τοῦ ζῆν ἐστιν ἡ φρόνησις κυ– 44.24
ριωτέρα τῆς ἀληθείας· ὥστε πάντες ἄνθρωποι τὸ ἀληθοῦς δοξῆς
φρονεῖν μάλιστα διώκουσι. τὸ γὰρ ζῆν ἀγαπῶντες τὸ
φρονεῖν καὶ τὸ γνωρίζειν ἀγαπῶσι· δι᾽ οὐδὲν γὰρ 44.27
ἕτερον αὐτὸ τιμῶσιν ἢ διὰ τὴν αἴσθησιν καὶ μάλιστα
διὰ τὴν ὄψιν· ταύτην γὰρ τὴν δύναμιν ὑπερβαλλόντως 45.1
φαίνονται φιλοῦντες· αὕτη γὰρ πρὸς τὰς ἄλλας αἰ–
σθήσεις ὥσπερ ἐπιστήμη τις ἀτεχνῶς ἐστιν. 45.3

--------------------------------------------------------------------------------**[44.17-45.3]**

**44.20** ψυχὴν <το ζην> Düring || **20-21** ὥσπερ all MSS] ὡς Jaeger; οτιπερ F in the margin, Düring ➔ || **24** <αὑτοῦ> τοῦ ζῆν Düring || **24-25** τῆς ἀληθείας <οὖσα> Jaeger; τῆς ἀληθοῦς <δοξῆς> DSH+MRJ ➔ || **26** αγαπωντες γαρ το ζην V